κύριος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ ὤμοσεν λέγων [11] Εἰ ὄψονται οἱ 11
ἄνθρωποι οὗτοι οἱ ἀναβάντες ἐξ Αἰγύπτου ἀπὸ εἰκοσαετοῦς καὶ
ἐπάνω οἱ ἐπιστάμενοι τὸ κακὸν καὶ τὸ ἀγαθὸν τὴν γῆν, ἣν ὤμοσα
τῷ Αβρααμ καὶ Ισαακ καὶ Ιακωβ, οὐ γὰρ συνεπηκολούθησαν ὀπίσω
μου, [12] πλὴν Χαλεβ υἱὸς Ιεφοννη ὁ διακεχωρισμένος καὶ Ἰησοῦς ὁ 12
τοῦ Ναυη, ὅτι συνεπηκολούθησεν ὀπίσω κυρίου. [13] καὶ ὠργίσθη 13
θυμῷ κύριος ἐπὶ τὸν Ισραηλ καὶ κατερρόμβευσεν αὐτοὺς ἐν τῇ
ἐρήμῳ τεσσαράκοντα ἔτη, ἕως ἐξανηλώθη πᾶσα ἡ γενεὰ οἱ ποι-
οῦντες τὰ πονηρὰ ἔναντι κυρίου. [14] ἰδοὺ ἀνέστητε ἀντὶ τῶν πατέ- 14
ρων ὑμῶν σύστρεμμα ἀνθρώπων ἁμαρτωλῶν προσθεῖναι ἔτι ἐπὶ
τὸν θυμὸν τῆς ὀργῆς κυρίου ἐπὶ Ισραηλ, [15] ὅτι ἀποστραφήσεσθε 15
ἀπ᾽ αὐτοῦ προσθεῖναι ἔτι καταλιπεῖν αὐτὸν ἐν τῇ ἐρήμῳ καὶ ἀνο-
μήσετε εἰς ὅλην τὴν συναγωγὴν ταύτην. [16] καὶ προσῆλθον αὐτῷ 16
καὶ ἔλεγον Ἐπαύλεις προβάτων οἰκοδομήσωμεν ὧδε τοῖς κτήνεσιν
ἡμῶν καὶ πόλεις ταῖς ἀποσκευαῖς ἡμῶν, [17] καὶ ἡμεῖς ἐνοπλισάμενοι 17
προφυλακὴ πρότεροι τῶν υἱῶν Ισραηλ, ἕως ἂν ἀγάγωμεν αὐτοὺς
εἰς τὸν ἑαυτῶν τόπον· καὶ κατοικήσει ἡ ἀποσκευὴ ἡμῶν ἐν πόλε-
σιν τετειχισμέναις διὰ τοὺς κατοικοῦντας τὴν γῆν. [18] οὐ μὴ ἀπο- 18
στραφῶμεν εἰς τὰς οἰκίας ἡμῶν, ἕως ἂν καταμερισθῶσιν οἱ υἱοὶ
Ισραηλ ἕκαστος εἰς τὴν κληρονομίαν αὐτοῦ· [19] καὶ οὐκέτι κληρονο- 19
μήσωμεν ἐν αὐτοῖς ἀπὸ τοῦ πέραν τοῦ Ιορδάνου καὶ ἐπέκεινα, ὅτι
ἀπέχομεν τοὺς κλήρους ἡμῶν ἐν τῷ πέραν τοῦ Ιορδάνου ἐν ἀνα-
τολαῖς. [20] καὶ εἶπεν πρὸς αὐτοὺς Μωυσῆς Ἐὰν ποιήσητε κατὰ τὸ 20
ῥῆμα τοῦτο, ἐὰν ἐξοπλίσησθε ἔναντι κυρίου εἰς πόλεμον [21] καὶ παρ- 21
ελεύσεται ὑμῶν πᾶς ὁπλίτης τὸν Ιορδάνην ἔναντι κυρίου, ἕως ἂν
ἐκτριβῇ ὁ ἐχθρὸς αὐτοῦ ἀπὸ προσώπου αὐτοῦ [22] καὶ κατακυριευθῇ 22
ἡ γῆ ἔναντι κυρίου, καὶ μετὰ ταῦτα ἀποστραφήσεσθε, καὶ ἔσεσθε
ἀθῷοι ἔναντι κυρίου καὶ ἀπὸ Ισραηλ, καὶ ἔσται ἡ γῆ αὕτη ὑμῖν ἐν
κατασχέσει ἔναντι κυρίου. [23] ἐὰν δὲ μὴ ποιήσητε οὕτως, ἁμαρτή- 23
σεσθε ἔναντι κυρίου καὶ γνώσεσθε τὴν ἁμαρτίαν ὑμῶν, ὅταν ὑμᾶς
καταλάβῃ τὰ κακά. [24] καὶ οἰκοδομήσετε ὑμῖν αὐτοῖς πόλεις τῇ ἀπο- 24
σκευῇ ὑμῶν καὶ ἐπαύλεις τοῖς κτήνεσιν ὑμῶν καὶ τὸ ἐκπορευόμε-
νον ἐκ τοῦ στόματος ὑμῶν ποιήσετε. [25] καὶ εἶπαν οἱ υἱοὶ Ρουβην 25
καὶ οἱ υἱοὶ Γαδ πρὸς Μωυσῆν λέγοντες Οἱ παῖδές σου ποιήσου-
σιν καθὰ ὁ κύριος ἡμῶν ἐντέλλεται· [26] ἡ ἀποσκευὴ ἡμῶν καὶ αἱ 26
γυναῖκες ἡμῶν καὶ πάντα τὰ κτήνη ἡμῶν ἔσονται ἐν ταῖς πόλεσιν

11 κακον ... αγαθον] tr. A | ωμοσα] -σεν B: ex 10 | τω > A† || 12 συνεπηκολουθησαν A || 13 κατερρομβευσεν] ε pro ο A | εξανηλωθη] αν εξαναλωθη A || 16 αποσκευαις] κατασκ. A† || 17 προφυλακην B || 19 εν αυτοις] εαυτοις A || 20 εξοπλισθησεσθαι(pro -θε) A† || 21 οπλιστης A | εως] ως A† || 22 και 4⁰ > A† || 24 ποιησετε] pr. τουτο B*† || 25 ημων] ημιν A† | εντελλεται] -τελειται B*†, -τεταλται A || 26 και 1⁰ — ημων 2⁰ / και 2⁰ — ημων 3⁰] tr. A†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/327 UNIVERSITÄT LEIPZIG